eul_wid: afu-aa

Ἀρχίλοχος ὁ Πάριος · Archilochus of Paros

# Lyric Fragments

*Λυρικὰ Ἀποσπάσματα*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἰωνική* Ionic (ia, frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Συναγωγή* Collection

S478a πάμπαν ἀποσχόμενος· 〈 〉 ἶσον δὲ τολμ[ εἰ δ’ ὦν ἐπείγεαι καί σε θυμὸς ἰθύει, ἔστιν ἐν ἡμετέρου 〈 〉 ἣ νῦν μέγ’ ἱμείρε[ι καλὴ τέρεινα παρθένος· δοκέω δέ μι[ν εἶδος ἄμωμον ἔχειν· 〈 〉 τὴν δὴ σὺ πένθ[ τοσαῦτ’ ἐφώνει· τὴν δ’ ἐγὼ ἀνταμει[βόμην· “Ἀμφιμεδοῦς θύγατερ 〈 〉 ἐσθλῆς τε καὶ [περίφρονος γυναικός, ἣν νῦν γῆ κατ’ εὐρώεσσ’ ἔ[χει, τ]έρψιές εἰσι θεῆς 〈 〉 πολλαὶ νέοισιν ἀνδ[ράσιν παρὲξ τὸ θεῖον χρῆμα· τῶν τις ἀρκέσε[ι. τ]αῦτα δ’ ἐπ’ ἡσυχίης 〈 〉 εὖτ’ ἂν μελανθη[ ἐ]γώ τε καὶ σὺ σὺν θεῶι βουλεύσομεν· π]είσομαι ὥς με κέλεαι· 〈 〉 πολλόν μ’ ε[ θρ]ιγκοῦ δ’ ἔνερθε καὶ πυλέων ὑποφ[ μ]ή τι μέγαιρε, φίλη· 〈 〉 σχήσω γὰρ ἐς ποη[φόρους κ]ήπους. τὸ δὴ νῦν γνῶθι· Νεοβούλη[ ἄ]λλος ἀνὴρ ἐχέτω· 〈 〉 αἰαῖ πέπειρα δ . [ ἄν]θος δ’ ἀπερρύηκε παρθενήιον κ]αὶ χάρις ἣ πρὶν ἐπῆν· 〈 〉 κόρον γὰρ οὐκ[ .. ]ης δὲ μέτρ’ ἔφηνε μαινόλις γυνή· ἐς] κόρακας ἄπεχε· 〈 〉 μὴ τοῦτ’ ἐφοῖτ’ αν[ ὅ]πως ἐγὼ γυναῖκα τ[ο]ιαύτην ἔχων γεί]τοσι χάρμ’ ἔσομαι· 〈 〉 πολλὸν σὲ βούλο[μαι πάρος· σὺ] μὲν γὰρ οὔτ’ ἄπιστος οὔτε διπλόη, ἡ δ]ὲ μάλ’ ὀξυτέρη, 〈 〉 πολλοὺς δὲ ποιεῖτα[ι δέ]δοιχ’ ὅπως μὴ τυφλὰ κἀλιτήμερα σπ]ουδῆι ἐπειγόμενος 〈 〉 τὼς ὥσπερ ἡ κ[ύων τέκω.” τοσ]αῦτ’ ἐφώνεον· παρθένον δ’ ἐν ἄνθε[σιν τηλ]εθάεσσι λαβὼν 〈 〉 ἔκλινα, μαλθακῆι δ[έ μιν χλαί]νηι καλύψας, αὐχέν’ ἀγκάλῃς ἔχω[ν, δεί]ματι π .. [ . ] . μένην 〈 〉 τὼς ὥστε νέβρ[ μαζ]ῶν τε χερσὶν ἠπίως ἐφηψάμην ἧιπε]ρ ἔφηνε νέον

S478a (50) 〈 〉 ἥβης ἐπήλυσις χρόα· ἅπαν τ]ε σῶμα καλὸν ἀμφαφώμενος λευκ]ὸν ἀφῆκα μένος 〈 〉 ξανθῆς ἐπιψαύ[ων τριχός.

S478b οὐκέ]θ’ ὁμῶς θάλλεις ἁπαλὸν χρόα, κάρφετα[ι γὰρ ἤδη ὄγμοι]ς, κακοῦ δὲ γήραος καθαιρεῖ ..... ], ἀφ’ ἱμερτοῦ δὲ θορὼν γλυκὺς ἵμερος π[ροσώπου πέπτω]κεν· ἦ γὰρ πολλὰ δή σ’ ἐπῆιξεν πνεύμ]ατα χειμερίων ἀνέμων 〈 〉 πολλάκις δε[

Eulogikon public reading copy · View original HTML at eulogikon.org